UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

Dîtîqa (nouum) ḥadāta (testamentum)

Parisiis, 1584

B. Ivdæ Apostoli Epistola catholica.

urn:nbn:de:hbz:466:1-39367

Visual Library

10 Propter hoc ſi venero , commoneam eius
opera quæ facit : verbis malignis garriens in
nos , & quaſi non ei iſta ſufficiant : neque ipſe
ſuſcipit fratres, & eos qui ſuſcipiunt , prohibet,
& de Eccleſia eiicit. 11 Chariſſime, noli imi-
tari malum , ſed quod bonum eſt. Qui benefa-
cit , ex Deo eſt : qui male facit, non videt Deũ.
12 Demetrio teſtimonium redditur ab omni-
bus, & ab ipſa veritate , ſed & nos teſtimonium
perhibemus , & noſtis quoniam teſtimonium
noſtrum verum eſt.
13 Multa habui tibi ſcribere , ſed nolui per
atramentum & calamum ſcribere tibi .
24 Spero autem protinus te videre , & os ad
os loquemur . 15 Pax tibi. Salutant te amici.
Saluta tu amicos nominatim. Finis

B. IVDÆ APOSTOLI *Epiſtola catholica.* CAP. I.

1 IVDAS Ieſu Chriſti ſeruus , frater autem
Iacobi, his qui ſunt in Deo Patre dilectis ,
& Chriſto Ieſu conſeruatis, & vocatis. 2 Miſe-
ricordia vobis, & pax, & charitas adimpleatur.
3 Chariſſimi, omnem ſolicitudinẽ faciens ſcri-
bendi vobis de communi veſtra ſalute , neceſſe
habui ſcribere vobis: deprecans ſupercertari ſe-
mel traditę ſanctis fidei. 4 Subintroierũt enim
quidam homines (qui olim præſcripti in hoc
iudicium) impij, Domini noſtri gratiam tranſ-
ferentes in luxuriam, & ſolum Dominatorem,
& Dominum noſtrum Ieſum Chriſtũ negantes.
5 Commonere autem vos volo, ſcientes ſemel
omnia, quoniam Ieſus, populum de terra. Æ-
gypti ſaluans, ſeundò eos qui non crediderunt,
perdidit. 6 Angelos verò qui non ſeruauerunt
ſuum principatum, ſed dereliquerunt ſuũ do-
micilium, in iudiciũ magni diei, vinculis ęternis
ſub caligine reſeruauit . 7 Sicut Sodoma &
Gomortha , & finitimæ ciuitates ſimili modo
exfornicatæ, & abeuntes poſt carnem alteram,
factę ſunt exemplum, ignis ęterni pœnam ſuſti-
nentes. 8 Similiter & hi carnem quidem ma-
culant, dominationem autem ſpernũt, maieſta-
tem autem blaſphemant . 9 Cùm Michaël
Archangelus, cum diabolo diſputans, altercare-
tur de Moyſi corpore : non eſt auſus iudicium
inferre blaſphemię, ſed dixit, Imperet tibi Deus.
10 Hi autem quæcunque quidem ignorant ,
blaſphemant : quæcunque autem naturaliter
tanquam muta animalia, norunt, in his corrum-
puntur. 11 Væ illis, qui in via Cain abierunt: &
errore Balaam , mercede effuſi ſunt , & in con-
tradictione. Core abierunt. 12 Hi ſunt in epu-
lis ſuis, maculæ, conuiuantes ſine timore, ſemet-
ipſos paſcentes , nubes ſine aqua, quæ à ventis
circunferuntur, arbores autumnales, infructuo-
ſæ, bis mortuæ , eradicatæ.

10 διὰ τοῦτο ἐὰν ἔλθω, ὑπομνήσω αὐτοῦ τὰ ἔργα ἃ
ποιεῖ, λόγοις πονηροῖς φλυαρῶν ἡμᾶς· καὶ μὴ ἀρκούμενος
ἐπὶ τούτοις, οὔτε αὐτὸς ἐπιδέχεται τοὺς ἀδελφούς, καὶ τοὺς
βουλομένους κωλύει, καὶ ἐκ τῆς ἐκκλησίας ἐκβάλλει.
11 ἀγαπητέ, μὴ μιμοῦ τὸ κακὸν ἀλλὰ τὸ ἀγαθόν. ὁ ἀγα-
θοποιῶν ἐκ τοῦ θεοῦ ἐστιν· ὁ κακοποιῶν οὐχ ἑώρακε τὸν θεόν.
12 Δημητρίῳ μεμαρτύρηται ὑπὸ πάντων, καὶ ὑπ'
αὐτῆς τῆς ἀληθείας· καὶ ἡμεῖς δὲ μαρτυροῦμεν, καὶ οἴδατε
ὅτι ἡ μαρτυρία ἡμῶν ἀληθής ἐστι. 13 πολλὰ εἶχον
γράφειν, ἀλλ' οὐ θέλω διὰ μέλανος καὶ καλάμου σοι γράψαι.
14 ἐλπίζω δὲ εὐθέως ἰδεῖν σε, καὶ στόμα πρὸς στόμα λα-
λήσομεν. 15 εἰρήνη σοι. ἀσπάζονταί σε οἱ φίλοι.
ἀσπάζου τοὺς φίλους κατ' ὄνομα. Τέλος.

Η ΤΟΥ ΑΓΙΟΥ ΙΟΥΔΑ ΚΑΘΟλικὴ Ἐπιστολή. Κεφ. α.

1 Ἰούδας Χριστοῦ Ἰησοῦ δοῦλος, ἀδελφὸς δὲ Ἰακώβου,
τοῖς ἐν θεῷ πατρὶ ἡγιασμένοις, καὶ Ἰησοῦ Χριστῷ τε-
τηρημένοις, κλητοῖς· 2 ἔλεος ὑμῖν καὶ εἰρήνη καὶ ἀγάπη
πληθυνθείη. 3 ἀγαπητοί, πᾶσαν σπουδὴν ποιούμενος
γράφειν ὑμῖν περὶ τῆς κοινῆς σωτηρίας, ἀνάγκην ἔσχον γρά-
ψαι ὑμῖν, παρακαλῶν ἐπαγωνίζεσθαι τῇ ἅπαξ παραδοθείσῃ
τοῖς ἁγίοις πίστει. 4 παρεισέδυσαν γάρ τινες ἄνθρωποι
οἱ πάλαι προγεγραμμένοι εἰς τοῦτο τὸ κρίμα, ἀσεβεῖς, τὴν
τοῦ θεοῦ ἡμῶν χάριν μετατιθέντες εἰς ἀσέλγειαν, καὶ τὸν
μόνον θεὸν καὶ δεσπότην καὶ κύριον ἡμῶν Ἰησοῦν Χριστὸν
ἀρνούμενοι. 5 ὑπομνῆσαι δὲ ὑμᾶς βούλομαι, εἰδότας
ὑμᾶς ἅπαξ τοῦτο, ὅτι ὁ κύριος λαὸν ἐκ γῆς Αἰγύπτου σώσας,
τὸ δεύτερον τοὺς μὴ πιστεύσαντας ἀπώλεσεν. 6 ἀγγέ-
λους τε τοὺς μὴ τηρήσαντας τὴν ἑαυτῶν ἀρχήν, ἀλλὰ ἀπο-
λιπόντας τὸ ἴδιον οἰκητήριον, εἰς κρίσιν μεγάλης ἡμέρας, δε-
σμοῖς ἀϊδίοις ὑπὸ ζόφον τετήρηκεν. 7 ὡς Σόδομα
καὶ Γόμορρα, καὶ αἱ περὶ αὐτὰς πόλεις, τὸν ὅμοιον τούτοις
τρόπον ἐκπορνεύσασαι, καὶ ἀπελθοῦσαι ὀπίσω σαρκὸς ἑτέ-
ρας, πρόκεινται δεῖγμα, πυρὸς αἰωνίου δίκην ὑπέχουσαι.
8 ὁμοίως μέντοι καὶ οὗτοι ἐνυπνιαζόμενοι, σάρκα μὲν
μιαίνουσι, κυριότητα δὲ ἀθετοῦσι, δόξας δὲ βλασφημοῦ-
σιν. 9 ὁ δὲ Μιχαὴλ ὁ ἀρχάγγελος, ὅτε τῷ διαβόλῳ
διακρινόμενος διελέγετο περὶ τοῦ Μωσέως σώματος, οὐκ
ἐτόλμησε κρίσιν ἐπενεγκεῖν βλασφημίας, ἀλλ' εἶπεν, ἐπιτιμή-
σαι σοι κύριος. 10 οὗτοι δὲ ὅσα μὲν οὐκ οἴδασι, βλασφημοῦ-
σιν· ὅσα δὲ φυσικῶς ὡς τὰ ἄλογα ζῶα ἐπίστανται, ἐν τού-
τοις φθείρονται. 11 οὐαὶ αὐτοῖς, ὅτι τῇ ὁδῷ τοῦ Κάϊν
ἐπορεύθησαν, καὶ τῇ πλάνῃ τοῦ Βαλαὰμ μισθοῦ ἐξεχύθησαν,
καὶ τῇ ἀντιλογίᾳ τοῦ Κορὲ ἀπώλοντο. 12 οὗτοί εἰσιν
ἐν ταῖς ἀγάπαις ὑμῶν σπιλάδες, συνευωχούμενοι ὑμῖν, ἀφόβως
ἑαυτοὺς ποιμαίνοντες· νεφέλαι ἄνυδροι, ὑπὸ ἀνέμων πε-
ριφερόμεναι· δένδρα φθινοπωρινά, ἄκαρπα, δὶς ἀποθα-
νόντα, ἐκριζωθέντα·

UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

13 κύματα ἄγρια θαλάσσης, ἐπαφρίζοντα τὰς ἑαυτῶν
αἰσχύνας, ἀστέρες πλανῆται· οἷς ὁ ζόφος τοῦ σκότους εἰς αἰῶ-
να τετήρηται. 14 προεφήτευσε δὲ καὶ τούτοις ἕβδο-
μος ἀπὸ Ἀδὰμ Ἐνὼχ, λέγων, Ἰδοὺ ἦλθε κύριος ἐν ἁγίαις
μυριάσιν αὐτοῦ, 15 ποιῆσαι κρίσιν κατὰ πάντων, καὶ
ἐξελέγξαι πάντας τοὺς ἀσεβεῖς αὐτῶν, περὶ πάντων τῶν ἔργων
ἀσεβείας αὐτῶν ὧν ἠσέβησαν, καὶ περὶ πάντων τῶν σκληρῶν
ὧν ἐλάλησαν κατ᾽ αὐτοῦ, ἁμαρτωλοὶ ἀσεβεῖς. 16 οὗτοί
εἰσι γογγυσταὶ, μεμψίμοιροι, κατὰ τὰς ἐπιθυμίας αὐτῶν πο-
ρευόμενοι, καὶ τὸ στόμα αὐτῶν λαλεῖ ὑπέρογκα, θαυμάζον-
τες πρόσωπα ὠφελείας χάριν. 17 ὑμεῖς δὲ, ἀγα-
πητοὶ, μνήσθητε τῶν ῥημάτων τῶν προειρημένων ὑπὸ τῶν
ἀποστόλων τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, 18 ὅτι ἔλεγον
ὑμῖν, ὅτι ἐν ἐσχάτῳ χρόνῳ ἔσονται ἐμπαῖκται, κατὰ τὰς ἐπι-
θυμίας ἑαυτῶν πορευόμενοι τῶν ἀσεβειῶν. 19 οὗτοί εἰσιν
οἱ ἀποδιορίζοντες, ψυχικοὶ, πνεῦμα μὴ ἔχοντες.
20 ὑμεῖς δὲ, ἀγαπητοὶ, τῇ ἁγιωτάτῃ ἡμῶν πίστει ἐποι-
κοδομοῦντες ἑαυτοὺς, ἐν πνεύματι ἁγίῳ προσευχόμενοι,
21 ἑαυτοὺς ἐν ἀγάπῃ θεοῦ τηρήσατε, προσδεχόμενοι τὸ
ἔλεος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ζωὴν αἰώνιον·
22 καὶ οὓς μὲν ἐλεεῖτε διακρινόμενοι· 23 οὓς δὲ ἐν
φόβῳ σώζετε, ἐκ τοῦ πυρὸς ἁρπάζοντες, μισοῦντες καὶ τὸν
ἀπὸ τῆς σαρκὸς ἐσπιλωμένον χιτῶνα. 24 τῷ δὲ δυ-
ναμένῳ φυλάξαι αὐτοὺς ἀπταίστους, καὶ στῆσαι κατενώπιον
τῆς δόξης αὐτοῦ ἀμώμους ἐν ἀγαλλιάσει· 25 μόνῳ
σοφῷ θεῷ σωτῆρι ἡμῶν δόξα καὶ μεγαλωσύνη, κράτος καὶ
ἐξουσία, καὶ νῦν καὶ εἰς πάντας τοὺς αἰῶνας. ἀμήν.

Τέλος.

ΑΠΟΚΑΛΥΨΙΣ ΤΟΥ ΑΓΙΟΥ
ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου τοῦ θεολόγου.

Κεφ. Α.

1 Ἀποκάλυψις Ἰησοῦ Χριστοῦ, ἣν ἔδωκεν αὐτῷ ὁ θεὸς,
δεῖξαι τοῖς δούλοις αὐτοῦ, ἃ δεῖ γενέσθαι ἐν τάχει· καὶ
ἐσήμανεν ἀποστείλας διὰ τοῦ ἀγγέλου αὐτοῦ τῷ δούλῳ αὐτοῦ
Ἰωάννῃ· 2 ὃς ἐμαρτύρησε τὸν λόγον τοῦ θεοῦ, καὶ τὴν
μαρτυρίαν Ἰησοῦ Χριστοῦ, ὅσα εἶδε, καὶ ἅ τινά εἰσι, καὶ ἃ χρὴ
γενέσθαι μετὰ ταῦτα. 3 μακάριος ὁ ἀναγινώσκων, καὶ
οἱ ἀκούοντες τοὺς λόγους τῆς προφητείας, καὶ τηροῦντες τὰ
ἐν αὐτῇ γεγραμμένα· ὁ γὰρ καιρὸς ἐγγύς. 4 Ἰωάννης
ταῖς ἑπτὰ ἐκκλησίαις ταῖς ἐν τῇ Ἀσίᾳ, χάρις ὑμῖν καὶ εἰ-
ρήνη ἀπὸ ὁ ὢν καὶ ὁ ἦν καὶ ὁ ἐρχόμενος, καὶ ἀπὸ τῶν ἑπτὰ
πνευμάτων, ἅ ἐστιν ἐνώπιον τοῦ θρόνου αὐτοῦ, 5 καὶ ἀπὸ
Ἰησοῦ Χριστοῦ, ὁ μάρτυς ὁ πιστὸς, ὁ πρωτότοκος ἐκ τῶν νε-
κρῶν, καὶ ὁ ἄρχων τῶν βασιλέων τῆς γῆς· τῷ ἀγαπήσαντι
ἡμᾶς, καὶ λούσαντι ἡμᾶς ἀπὸ τῶν ἁμαρτιῶν ἡμῶν ἐν τῷ αἵ-
ματι αὐτοῦ 6 καὶ ἐποίησεν ἡμᾶς βασιλείας καὶ ἱε-
ρεῖς τῷ θεῷ καὶ πατρὶ αὐτοῦ· αὐτῷ ἡ δόξα καὶ τὸ κράτος
εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

13 Fluctus feri maris, diſpumantes ſuas confu-
ſiones, ſidera erratia: quibus procella tenebra-
rum ſeruata eſt in æternum. 14 Prophetauit
autem & de his ſeptimus ab Adam Enoch, di-
cens, Ecce venit Dominus in ſanctis millibus
ſuis. 15 Facere iudicium contra omnes, &
arguere omnes impios, de omnibus operibus
impietatis eorum quibus impiè egerunt, & de
omnibus duris quæ locuti ſunt contra Deum
peccatores impij. 16 Hi ſunt murmuratores,
queruloſi, ſecundum deſideria ſua ambulantes,
& os eorum loquitur ſuperbiam, mirantes per-
ſonas quæſtus cauſa. 17 Vos autem chariſſi-
mi, memores æſtote verborum quæ prædicta
ſunt ab Apoſtolis Domini noſtri Ieſu Chriſti,
18 Qui dicebant vobis, quoniam in nouiſſimis
temporibus veniēt illuſores ſecundum deſide-
ria ſua ambulantes in impietatibus. 19 Hi
ſunt qui ſegregant ſemetipſos, animales, Spi-
ritum non habentes. 20 Vos autem chariſſi-
mi, ſuperædificantes voſmetipſos ſanctiſſimæ
noſtræ fidei, in Spiritu ſancto orantes,
21 Voſmetipſos in dilectione Dei ſeruate, ex-
pectantes miſericordiam Domini noſtri Ieſu
Chriſti in vitam æternam. 22 Et hos quidem
arguite iudicatos: 23 Illos verò ſaluate, de
igne rapientes: Alijs autem miſeremini in ti-
more, odientes & eam quæ carnalis eſt macu-
latam tunicam. 24 Ei autem qui potens eſt
vos conſeruare ſine peccato, & conſtituere an-
te conſpectum gloriȩ ſuæ immaculatos in exul-
tatione, in aduentu Domini noſtri Ieſu Chriſti,
25 Soli Deo Saluatori noſtro per Ieſum Chri-
ſtum Dominum noſtrum gloria, & magnificen-
tia, imperium & poteſtas ante omne ſeculum:
& nunc & in omnia ſecula ſeculorum. Amen.

APOCALYPSIS B. IOANNIS
Apoſtoli. CAP. I.

APOCALYPSIS Ieſu Chriſti, quam dedit
illi Deus palā facere ſeruis ſuis, quȩ oportet
fieri citò, & ſignificauit, mittens per Angelum
ſuū ſeruo ſuo Ioanni, 2 Qui teſtimoniū per-
hibuit verbo Dei, & teſtimonium Ieſu Chriſti,
quæcunque vidit. 3 Beatus qui legit & au-
dit verba prophetiæ huius: & ſeruat ea quȩ in
ea ſcripta ſunt. tempus enim propè eſt.
4 Ioannes ſeptem Eccleſiis quæ ſunt in Aſia:
Gratia vobis & pax ab eo Qui eſt, & Qui erat,
& Qui venturus eſt, & à ſeptem ſpiritibus qui
in conſpectu throni eius ſunt, 5 Et à Ieſu
Chriſto, qui eſt teſtis fidelis, primogenitus
mortuorum, & princeps regum terræ, qui dile-
xit nos, & lauit nos à peccatis noſtris in ſangui-
ne ſuo, 6 Et fecit nos regnum & ſacerdotes
Deo & Patri ſuo, ipſi gloria & imperium in ſe-
cula ſeculorum Amen,